φων ἀτεχνέντων. ὡς καταλιπόντων μὲν τὴν ποίησιν, τοῦ δὲ σκώπτειν ἐχομένων. Οἱ τρυγοδαίμονες.] οἱ ποιηταί. ἐπὶ τὴν τρύγα χριόμενοι ἵνα μὴ γνώριμοι γένωνται, οὕτω τὰ αὑτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ. ἤγουν ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί. ἄλλως. οἱ κωμικοὶ παρὰ τὸ κακοδαίμονες. ἐπεὶ πολλοὶ

A

τῇ αἰσχροποιίᾳ ἐχρῶντο. κακοδαίμονας δὲ, παρόσον ἀφέμενοι τῶν θείων, περὶ τὸ σκώπτειν τρέπονται. Σμῆνος ἀοιδαῖς.] κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν. Ὅμηρος δὲ κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας ἐπαινῶν τὸν Νέστορα. τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. ὅπερ ἐστὶν ἑσμὸς τουτέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν.

B

## ΑΝΤΩΔΗ ΑΝΤΙΣΡΟΦΗΣ ΚΩΛΩΝ ις.

ΧΟ. Παρθένοι ὀμβροφόροι
Ἔλθωμεν λιπαρὰν
Χθόνα Παλλάδος. εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον
Οὗ σέβας ἀρρήτων ἱερῶν, ἵνα
Μυστοδόκος δόμος
Ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται.
Οὐρανίοις τε θεοῖς δωρήματα.
Ναοί θ' ὑψιερεφεῖς, καὶ ἀγάλματα.
Καὶ πρόσοδοι μακάρων ἱερώταται,
Εὐστέφανοί τε θεῶν
Θυσίαι, θαλίαι τε,

## CHORVS SEV NVBES.

*Imbriferæ dominæ,*
*Visamus grauida*
*Loca Palladis, illustrem oram*
*Cecropis, & decus orbis amabile:*

C

*Hîc, vbi sacrorum nitor inclytus*
*Tectáque mystica,*
*Luce sacra, populo celebri patent.*
*Hîc, vbi cælicolis sua munera*
*Templáque marmorea, & statuæ sacræ,*
*Diuorúmque aditus venerabiles:*
*Hîc vbi sacra Deûm*
*Benè comta, diésque*

D

Σχόλια. Παρθένοι ὀμβροφόροι.] ἡ ἀντῳδὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ δεκαέξ. ὧν ὁ τελευταῖος, καὶ μοῦσα βαρύβρομος αὐλῶν. ἐπὶ τῷ τέλει δύο διπλαῖ. ἡ μὲν κατ' ἀρχὰς τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. καὶ ἀμφότεραι ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔχει τὰ ἀποδιδόμενα. τινὲς δὲ εἰς τὸ παρθένοι στίζουσι, τὸ παλίμβολον τῶν Νεφελῶν παριστάντες. ἄμεινον δὲ εἰς τὸ ὀμβροφόροι στίζειν. ἄλλως. τοῦτο οὐχ ὑφ' ἓν ἀναγνωστέον. οὐδ' ὡς ἐπίθετον τῶν Νεφελῶν τὸ ὀμβροφόροι νῦν ἐκληπτέον. ἀλλ' ὡς αὐτὸ καθ' αὑτὸ πρᾶγμα δηλοῦν. ἢ καὶ ἄμεινον μὲν ἂν εἴη ὑποστίζειν εἰς τὸ παρθένοι. συζευγνῦναι δὲ τὸ, ὀμβροφόροι τῷ ἐπιφερομένῳ ἵν' ᾖ νοούμενον, ἔλθωμεν ἐπὶ τὴν Ἀθηναίων γῆν ὄμβρου γέμουσαι. καὶ γὰρ ἐν ἀμφοτέροις ἡ ἔννοια σώζεσθαι δύναται, ἀλλ' εὐφημότερόν ἐστιν ὥσπερ προειρήκαμεν. αἱ Νεφέλαι παρακελευόμεναι φασιν. ὅλαι ὀμβρείας πληρωθεῖσαι τῇ τῶν Ἀθηναίων ἐπιστεύσωμεν πόλει. ἡ δὲ τοιαύτη διαστολὴ ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ, ὡς χρὴ τὰς Νεφέλας τολοιπὸν εὐδίους εἶναι. δι' ὧν ἔφη. ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον. ἐκεῖνο δὲ πρὸς τοῦτο ἀντιθετέον. ὅτι τὸ συμβαῖνον περὶ τὰς Νεφέλας αἰνιττόμενος ὁ ποιητὴς, παλίμβολόν τινα καὶ παλίντροφον ἐποίησε τὴν γνώμην αὐτῶν· ἐπεὶ καὶ ἐκ τοῦ χειμῶνος εἰς εὐδίαν χωρεῖν καὶ πάλιν ἐξ εὐδίας χειμάζειν πεφύκασι. Λιπαρὰν χθόνα.] λιπαρὰς Ἀθήνας οὐκ ἀπεικότως καλοῦσι. μάλιστα μὲν καὶ διὰ τὸ δόξαι πλουτεῖν τὴν πόλιν, ἔπειτα δέ τοι καὶ διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν. παρ' οἷς ἔτι καὶ νῦν, τὸ λιπαρὸν τῆς ἐλαίας φυτοῦ δείκνυται. ἄλλως. λιπαρὰν εὐθαλῆ. τοῦ πᾶσι κομῶσαν. Πίνδαρος. λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμα κλειναὶ Ἀθῆναι. (γέγραφθαι, Ἀθᾶναι) εὔανδρον δὲ τὴν ὑπ' ἀρίστων ἀνδρῶν παροικουμένην, πολυήρατον δὲ πᾶσιν ἐράσμιον. Οὗ σέβας.] ὅπου σέβασμά ἐστι καὶ ἄρρητα μυστήρια. ὅτι δὲ λίαν ἐσπούδαζον περὶ τὰ μυστήρια, δῆλον ἐκ τοῦ ψηφίσματος Μεγαρέων.

ἄλλως. εἰκότως πρὸ πάντων σεμνολογοῦσι τὰ Ἐλευσίνια. κοινωνίαν γὰρ ἔχουσι πρὸς τὰς θεὰς ὅσον ἐκ τοῦ ἔτους φορᾶς καὶ τῆς τῶν καρπῶν αὐξήσεως. αὗται δὲ τὸν Ἴακχον ἐχόρευσαν ταῖς θεαῖς Νεφέλαις μυστικῶς ὡς Ἡρόδοτος. φησὶ γὰρ ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ, πολὺ λειπομένου τοῦ Ἑλληνικοῦ πλήθους τῶν νεῶν τῶν Περσικῶν, συμμαχῆσαι Ἀθηναίοις τὰς θεὰς, μέγιστον τῆς

E

συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον τεκμήριον. μελλόντων γὰρ τῶν Ἑλλήνων καὶ τῶν Βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ὅσον κονιορτὸν, αἰρόμενον ἀπὸ Ἐλευσῖνος ἐπὶ τὴν συμβολὴν, παντὶ τῷ στρατῷ δῆλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιέντα καὶ νέφος γινόμενον, διὰ μέσου τοῦ στρατοπέδου χωροῦντα, τὸν Ἴακχον βοᾶν. μυστικὸς δὲ ὁ λόγος ὁ περὶ τὰ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο. Μυστοδόκος δόμος.] τὴν Ἐλευσῖνα λέγει. μυστικὸς καὶ ἱερός. τοὺς μύστας ἐπιδεχόμενος. ἔνθα τὰ Δήμητρος

F

καὶ Κόρης ἐπιτελεῖται μυστήρια. Ἐν τελεταῖς ἁγίαις.] ἐν τελεσιουργίαις ὁσιωτάταις. τουτέστι μυστηρίοις. εἰκότως δὲ τὰς Νεφέλας παρήγαγε πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων. ἐπεὶ ἔχουσί τινα πρός τε τὰς θεὰς αὐτὰς καὶ τοὺς διὰ ταύτας καρποὺς τελειουμένους οἰκειότητα. εἰ γὰρ Νεφελῶν τὸ ὕειν. ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος. Οὐρανίοις τε θεοῖς] πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν ἡ Δημήτηρ καὶ Κόρη, τὸ οὐρανίοις τε θεοῖς ἐπήγαγεν ὑπερβαλλόντως εὐσεβῆ βουλόμενος ἀποδεῖ-

G

ξαι τὴν πόλιν. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἑνὶ κεῖνται θεῷ. αἱ δὲ Ἀθῆναι πάντας ἀδιαφόρως τοὺς θεοὺς τιμῶσι. Καὶ πρόσοδοι.] θρησκεῖαι περὶ τοὺς βωμοὺς πρόσοδοι τοῖς θεοῖς καὶ προσελεύσεις. Εὐστέφανοί τε.] παρὰ τὸ Ὁμηρικόν. εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεξα. (γράφεται νηὸν ἔρεψα. Ιλ. α.) αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι κοσμεῖν μὲν καὶ στεφανοῦν τοὺς ναούς. πληροῦν δὲ τοὺς βωμοὺς